# ADDENDA.

V. 1. sqq. Aristoph. Ran. 1143. ed. Lips.

ΕΥΡΙΠΙΔΗΣ.

Καὶ μὴν ἐπ' αὐτοὺς τοὺς προλόγους σου τρέψομαι
Ὅπως τὸ πρῶτον τῆς τραγῳδίας μέρος
Πρώτιστον αὐτοῦ βασανιῶ τοῦ δεξιοῦ.
Ασαφὴς γὰρ ἦν ἐν τῇ φράσει τῶν πραγμάτων.

ΔΙΟΝΥΣΟΣ.

Καὶ ποῖον αὐτοῦ βασανιεῖς;

ΕΥΡΙΠΙΔΗΣ.

Πολλοὺς πάνυ.
Πρῶτον δ' ἐμοὶ τὸν ἐξ 'Ορεστείας λέγε.

ΔΙΟΝΥΣΟΣ.

Ἄγε δὴ σιώπα πᾶς ἀνήρ. λέγ' Αἰσχύλε.

ΑΙΣΧΥΛΟΣ.

„ Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη,
Σωτὴρ γενοῦ μοι ξυμμαχός τ' αἰτουμένῳ,
Ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι."

ΔΙΟΝΥΣΟΣ.

Τούτων ἔχεις ψέγειν τι;

ΕΥΡΙΠΙΔΗΣ.

Πλεῖν ἢ δώδεκα.

ΔΙΟΝΥΣΟΣ.

Αλλ' οὐδὲ πάντα ταῦτα γ' ἔστ' ἀλλ' ἢ τρία.

ΕΥ-